# A WOMAN'S QUEST FOR SPIRITUAL GUIDANCE:

## THE CORRESPONDENCE OF PRINCESS IRENE EULOGIA CHOUMNAINA PALAIOLOGINA


by

ANGELA CONSTANTINIDES HERO

With an Introduction by

JOHN MEYENDORFF



HELLENIC COLLEGE PRESS

Brookline, Massachusetts 02146

## Ἀπολογητικὴ πρὸς τὴν πρώτην

῞Αγιε πάτερ, τὴν λογιωτάτην καὶ σοφωτάτην γραφήν σου δεξαμένη ηὐφράνθην καὶ τὴν ταύτης καλλονὴν ἀγασθεῖσα παρεκινήθην τοῦ γράψαι ἵνα καὶ ἄμφω τὰ κατ' ἐμὲ καταλάβῃς, τήν τε ἰδιωτείαν καὶ ἀμαθίαν εἰς τὴν ἐπιστήμην τῆς γραμματικῆς ἐκ τῶν ἀντιστοίχων καὶ τῶν τόνων, καὶ τὴν μικρὰν δύναμιν εἰς τὸ νοεῖν ἀπὸ τῆς μεγάλης δωρεᾶς καὶ φιλανθρωπίας καὶ χάριτος τοῦ ποιητοῦ καὶ σωτῆρος μου Ἰησοῦ Χριστοῦ καὶ οὐκ ἀπὸ ἀνθρωπίνης παιδεύσεως ἢ ἑρμηνείας· ἢ γὰρ ἂν καὶ γραμματικὴν ἐξεπαίδευσάν μοι, εἰ τοσαύτην εἶχον εἰς ἐμὲ ἐπιμέλειαν.

Τοίνυν τὴν γραφὴν τῆς ἁγιωσύνης σου καὶ εὐχαριστῶ καὶ ἐπαινῶ καὶ θαυμάζω. εὐχαριστῶ μὲν γὰρ διὰ τοὺς ἐπαίνους, εἰ καὶ οὐθέν εἰμι καὶ πάντῃ ξένη τῶν ἐγκωμίων τούτων, ἀλλ' οὖν διὰ τὴν ἀγαθήν σου διάθεσιν καὶ ὑπόληψιν περὶ ἐμοῦ· ἐπαινῶ δὲ καὶ θαυμάζω, ἐπεὶ ἔχει δύναμιν φιλοσοφίας μεγίστην εἰς τοῦτο, δύναμις γὰρ φιλοσοφίας καὶ τεκμήριον μέγα, ἐν ὀλίγαις λέξεσι καὶ συντετμημέναις πολὺν νοῦν καὶ μεγάλην ὑπόθεσιν παραστῆσαι. ὅθεν διὰ ταπείνωσιν καὶ διὰ τὸ * * * ἐκφύγοις ἡμᾶς ἐξεπίτηδες ποιήσασα τοῦτο ἡ ἁγιωσύνη σου συντετμημένον, ἀντεστράφη σοι ὁ σκοπός· καὶ ἐν οὕτῳ ὀλίγαις λέξεσι τοσαύτην δύναμιν ἰδοῦσαι, ἐπὶ πλέον ἐδοξάσαμέν σοι καὶ παρεκινήθημεν τοῦ ὀχλεῖν σοι.

Τοίνυν ἀξιῶ τὴν ἁγιωσύνην σου ἵνα ἴδω καὶ τἄλλα συγγράμματά σου· ἐπὶ πλέον δὲ ἀξιῶ, καὶ πάνυ τοι ἀξιῶ, ἵνα μὴ ὑστερήσῃς με τὸ ὑπὲρ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Ἀθανασίου σύγγραμμα τῆς ἁγιωσύνης σου.

---

S 235r

10 ἠ]ἢ S || 20 πολλὺν S || 21 post τὸ spat. cav. 1-2 litt. (ut vid.) S || 23 ἀντεστράφει S || 26 τ' ἄλλα (ut vid.) S || 28 ὑστερήσεις S

## ⟨ Ἐπιστολὴ Δευτέρα ⟩

Οὐκ ἄρα μόνον δεδώκαμέν τι χρηστόν, ἀλλ᾽ ἤδη καὶ ἀ- τελάβομεν· μᾶλλον δὲ χρηστὸν οὐδὲν ἡμεῖς παρασχόμεν θαυμαστόν τι χρῆμα εἰλήφαμεν, φωνὴν ἀνδρὶ σοφῷ τε κ γενναίῳ προσήκουσαν ἐκ γυναικείου τοῦ στόματος κ ψυχῆς αὐτοσόφου προσφυέστατον γέννημα. πρότερον μ οὖν διὰ θαύματος εἶχον [Fol. 235v] τὸ φιλομαθὲς τῆς βασ λίδος ψυχῆς, νῦν δὲ τὸ ὠφέλιμον, ὃ μὴ μᾶλλον δύναται λα βεῖν ἑτέρωθεν εὐφυῶς ἐξευροῦσα, ἢ καὶ παρασχεῖν ἑτέρο ἐκ τῆς οἰκείας γνώμης.

Δοκοῦσι δή μοι περιττοί τινες φανεῖσθαι οἱ ἡμέτεροι λ γοι προσενεχθέντες τῇ γε τοιαύτῃ φύσει· ὥστε οἷς ἐσπο δακας ἡμᾶς εἰς τὸ δοῦναί σοι παρακινῆσαι τούτους, τα τοις ἡμᾶς τοὺς λόγους ἀποτρέπεις σοι δοῦναι· κελευού δὲ ὅμως, ἀμαθὲς ἀντιλέγειν. ἀλλ᾽ εἰσίν, ὡς ἔφθην εἰπ οὐκ εὐχερῶς ἐκδοῦναι· οἱ μὲν ἐν τοῖς πρώτοις αὐτοὺς ὑπ λαβοῦσι χάρταις ἔτι διεσχεδιασμένοι καὶ δυσδιάκριτοι, τα δὲ τελειωθέντας—κατά γε τὴν ἡμετέραν ἕξιν τελεωθέντα λέγω—ἔχει Θεσσαλονίκη· ἐν οἷς εἰσι καὶ οὓς ἡμῖν ὑπὲρ Ἀθ νασίου τοῦ γενναίου καὶ θείου πεπονηκέναι συμβέβηκ καὶ οὐδὲν τότε τούτων εἰρηκώς, ἐψευσάμην. ἐκείνους τε σ ἐπέστειλά μοι μετ᾽ οὐ πολὺ πεμφθῆναι, καὶ κομισθέντων αὐ ἂν θελήσαις λήψει· καὶ τούτων ἐκκαθαρθέντων, οὐδενός σ φθονήσομεν. οὐδεὶς γὰρ δήπου φθονεῖ τοῦ μὴ καλοῦ μηδε

---

S 235r-235v

v

1 ἐπιστολὴ δευτέρα S$^{mg}$ || 5 γένημα S || 12 σοι S$^{sv}$